# ΠΕΤΡΟΥ Α

Jc 1,1. 1 Πέτρος ἀπόστολος Ἰησοῦ Χριστοῦ ἐκλεκτοῖς
παρεπιδήμοις διασπορᾶς Πόντου, Γαλατίας, Καπ-
R 8,29. 2 παδοκίας, Ἀσίας, καὶ Βιθυνίας, ⸀κατὰ πρόγνωσιν
θεοῦ πατρός, ἐν ἁγιασμῷ πνεύματος, εἰς ὑπακοὴν
καὶ ῥαντισμὸν αἵματος Ἰησοῦ Χριστοῦ· χάρις ὑμῖν
καὶ εἰρήνη πληθυνθείη.
23. 3 Εὐλογητὸς ὁ θεὸς καὶ πατὴρ τοῦ κυρίου ἡμῶν
Ἰησοῦ Χριστοῦ, ὁ κατὰ τὸ πολὺ αὐτοῦ ἔλεος ἀνα-
γεννήσας ἡμᾶς εἰς ἐλπίδα ζῶσαν δι' ἀναστάσεως
Kol 1,12. 4 Ἰησοῦ Χριστοῦ ἐκ νεκρῶν, εἰς κληρονομίαν ἄφθαρ-
τον καὶ ἀμίαντον καὶ ἀμάραντον, τετηρημένην ἐν
J 10,28; 17,11. 5 οὐρανοῖς εἰς ὑμᾶς ⸀τοὺς ἐν δυνάμει θεοῦ φρουρου-
1 K 2,5. μένους διὰ πίστεως εἰς σωτηρίαν ἑτοίμην ἀποκα-
R 5,2. 2 K 4,17. 6 λυφθῆναι ἐν καιρῷ ἐσχάτῳ. ἐν ᾧ ἀγαλλιᾶσθε,
5,10. H 12,11. ὀλίγον ἄρτι εἰ δέον λυπηθέντες ἐν ποικίλοις πει-
Prv 17,3. 7 ρασμοῖς, ἵνα τὸ δοκίμιον ὑμῶν τῆς πίστεως πο-
Ml 3,3. λυτιμότερον χρυσίου τοῦ ἀπολλυμένου, διὰ πυρὸς
R 2,7.10. δὲ δοκιμαζομένου, εὑρεθῇ εἰς ἔπαινον καὶ δόξαν
J 17,20; 20,29. 8 καὶ τιμὴν ἐν ἀποκαλύψει Ἰησοῦ Χριστοῦ· ὃν οὐκ
2 K 5,7. ἰδόντες ἀγαπᾶτε, εἰς ὃν ἄρτι μὴ ὁρῶντες πιστεύον-
2 T 4,8. τες δὲ ἀγαλλιᾶσθε χαρᾷ ἀνεκλαλήτῳ καὶ δεδοξασ-
R 6,22. 9 μένῃ, κομιζόμενοι τὸ τέλος τῆς πίστεως ὑμῶν

---

7 *δοκιμιον* : h[s] pro *δοκιμον* 8 H *αγαλλιατε* 9 HW — *υμων*

---

4 *εν ουρανω* 6 *δεον εστιν* | *λυπηθεντας* 7 *πολυτιμωτερον* | *χρυσου* 8 *ειδοτες*

σωτηρίαν ψυχῶν. περὶ ἧς σωτηρίας ἐξεζήτησαν 10 Mt 13,17. L 10,24.
καὶ ἐξηραύνησαν προφῆται οἱ περὶ τῆς εἰς ὑμᾶς
χάριτος προφητεύσαντες, ἐραυνῶντες εἰς τίνα ἢ 11 Ps 22. Is 53. L 24,26.
ποῖον καιρὸν ἐδήλου τὸ ἐν αὐτοῖς πνεῦμα Χριστοῦ
προμαρτυρόμενον τὰ εἰς Χριστὸν παθήματα καὶ
τὰς μετὰ ταῦτα δόξας· οἷς ἀπεκαλύφθη ὅτι οὐχ 12 E 3,10. L 2,13.
ἑαυτοῖς ὑμῖν δὲ διηκόνουν αὐτά, ἃ νῦν ἀνηγγέλη
ὑμῖν διὰ τῶν εὐαγγελισαμένων ὑμᾶς πνεύματι
ἁγίῳ ἀποσταλέντι ἀπ' οὐρανοῦ, εἰς ἃ ἐπιθυμοῦ-
σιν ἄγγελοι παρακύψαι.
Διὸ ἀναζωσάμενοι τὰς ὀσφύας τῆς διανοίας 13 L 12,35. E 6,14.
ὑμῶν, νήφοντες, τελείως ἐλπίσατε ἐπὶ τὴν φερο-
μένην ὑμῖν χάριν ἐν ἀποκαλύψει Ἰησοῦ Χριστοῦ.
ὡς τέκνα ὑπακοῆς, μὴ συσχηματιζόμενοι ταῖς 14 R 12,2. E 2,3; 4,17.
πρότερον ἐν τῇ ἀγνοίᾳ ὑμῶν ἐπιθυμίαις, ἀλλὰ 15
κατὰ τὸν καλέσαντα ὑμᾶς ἅγιον καὶ αὐτοὶ ἅγιοι
ἐν πάσῃ ἀναστροφῇ γενήθητε, διότι γέγραπται· 16 Lv 11,44; 19,2; 20,7.
**ἅγιοι ἔσεσθε, ὅτι ἐγὼ ἅγιος.** καὶ εἰ **πατέρα ἐπι-** 17 Ps 89,27. Jr 3,19. Ml 1,6. Mt 6,9. R 2,11.
**καλεῖσθε** τὸν ἀπροσωπολήμπτως κρίνοντα κατὰ
τὸ ἑκάστου ἔργον, ἐν φόβῳ τὸν τῆς παροικίας
ὑμῶν χρόνον ἀναστράφητε, εἰδότες ὅτι οὐ φθαρ- 18 Is 52,3. 1 K 6,20; 7,23. 4,8.
τοῖς, **ἀργυρίῳ** ἢ χρυσίῳ, **ἐλυτρώθητε** ἐκ τῆς μα-
ταίας ὑμῶν ἀναστροφῆς πατροπαραδότου, ἀλλὰ 19 Is 53,7. H 9,14.
τιμίῳ αἵματι ὡς ἀμνοῦ ἀμώμου καὶ ἀσπίλου
Χριστοῦ, προεγνωσμένου μὲν πρὸ καταβολῆς κόσ- 20 R 16,25.26. E 1,4.
μου, φανερωθέντος δὲ ἐπ' ἐσχάτου τῶν χρόνων
δι' ὑμᾶς ¹ τοὺς δι' αὐτοῦ πιστοὺς εἰς θεὸν τὸν 21 J 14,6. Kol 1,27.
ἐγείραντα αὐτὸν ἐκ νεκρῶν καὶ δόξαν αὐτῷ δόντα,
ὥστε τὴν πίστιν ὑμῶν καὶ ἐλπίδα εἶναι εἰς θεόν.

---

*10* W *εξηρευνησαν it 11 ερευνωντες* *11 εδηλου το* : h *εδηλουτο* *12 υμιν* 1° : W *ημιν* | h *αυτὰ α* | *υμας* : TW +*εν* *13* H *νηφοντες τελειως.* *14* H *συνσχημ.* *16 γεγρ.* : [H]W+ *οτι* | *οτι* : T *διοτι*

---

*10 ημας* *11* — *Χριστου* | *προμαρτυρουμενον* *16 γενεσθε* | *αγιος ειμι* *20 εσχατων* | *ημας* *21 πιστευοντας*

1 J 5,1. 22 Τὰς ψυχὰς ὑμῶν ἡγνικότες ἐν τῇ ὑπακοῇ τῆς
ἀληθείας εἰς φιλαδελφίαν ἀνυπόκριτον, ἐκ καρ-
Dn 6,27. 23 δίας ἀλλήλους ἀγαπήσατε ἐκτενῶς, ἀναγεγεννη-
J 1,13. Jc 1,18. μένοι οὐκ ἐκ σπορᾶς φθαρτῆς ἀλλὰ ἀφθάρτου,
Is 40,6.7. 24 διὰ λόγου **ζῶντος θεοῦ καὶ μένοντος.** διότι
Jc 1,10.11. **πᾶσα σὰρξ** ὡς **χόρτος,**
**καὶ πᾶσα δόξα** αὐτῆς **ὡς ἄνθος χόρτου·**
**ἐξηράνθη ὁ χόρτος,**
**καὶ τὸ ἄνθος ἐξέπεσεν·**
Is 40,8. 25 **τὸ δὲ ῥῆμα κυρίου μένει εἰς τὸν αἰῶνα.**
τοῦτο δέ ἐστιν **τὸ ῥῆμα** τὸ **εὐαγγελισθὲν** εἰς ὑμᾶς.
E 4,22. 2 Ἀποθέμενοι οὖν πᾶσαν κακίαν καὶ πάντα δόλον
Jc 1,21. καὶ ὑποκρίσεις καὶ φθόνους καὶ πάσας καταλα-
H 5,12.13. 2 λιάς, ὡς ἀρτιγέννητα βρέφη τὸ λογικὸν ἄδολον
Mt 18,3. γάλα ἐπιποθήσατε, ἵνα ἐν αὐτῷ αὐξηθῆτε εἰς
Ps 34,9. 3 σωτηρίαν, εἰ **ἐγεύσασθε ὅτι χρηστὸς ὁ κύριος.**
Ps 118,22. Is 28,16. 4 πρὸς ὃν προσερχόμενοι, **λίθον** ζῶντα, ὑπὸ ἀνθρώ-
Mt 21,42. Act 4,11. πων μὲν ἀποδεδοκιμασμένον παρὰ δὲ θεῷ **ἐκλεκ-**
E 2,21.22. 5 **τὸν ἔντιμον,** καὶ αὐτοὶ ὡς λίθοι ζῶντες οἰκοδο-
9. R 12,1. μεῖσθε οἶκος πνευματικὸς εἰς ἱεράτευμα ἅγιον,
ἀνενέγκαι πνευματικὰς θυσίας εὐπροσδέκτους θεῷ
Is 28,16. 6 διὰ Ἰησοῦ Χριστοῦ. διότι περιέχει ἐν γραφῇ·
**ἰδοὺ τίθημι ἐν Σιὼν λίθον ἀκρογωνιαῖον ἐκλεκ-**
**τὸν ἔντιμον,**
**καὶ ὁ πιστεύων ἐπ' αὐτῷ οὐ μὴ καταισχυνθῇ.**
Ps 118,22. 7 ὑμῖν οὖν ἡ τιμὴ τοῖς πιστεύουσιν· ἀπιστοῦσιν δὲ
Mt 21,42. **λίθος ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες, οὗτος**
Is 8,14. R 9,33. 8 **ἐγενήθη εἰς κεφαλὴν γωνίας** | **καὶ λίθος προσκόμ-**
**ματος καὶ πέτρα σκανδάλου·** οἳ **προσκόπτουσιν** τῷ

---

**2,1** *ℵW υποκρισιν* *5* T *εποικοδομεισθε* | W *Χριστου.*
*6* HW *εκλεκτον* (W,) *ακρογωνιαιον* *7 λιθος* : T *λιθον*
| W — *ουτος ... γωνιας* —

---

*22 αληθ.* : + *δια πνευματος* | *εκ καθαρας καρδ.*
*23 σπορ.* : *φθορας* | fin + *εις τον αιωνα* *24* — *ως* 1⁰ |
*αυτου vl ανθρωπου* **2**,*2* — *εις σωτ.* *3 ειπερ* *5* — *εις*
*6 διο και* *7 απειθουσιν*

λόγῳ ἀπειθοῦντες, εἰς ὃ καὶ ἐτέθησαν· ὑμεῖς δὲ 9 Is 43,20 s. Ex 19,6; 23,22 Lxx.
**γένος ἐκλεκτόν, βασίλειον ἱεράτευμα, ἔθνος ἅγιον,**
**λαὸς εἰς περιποίησιν, ὅπως τὰς ἀρετὰς ἐξαγγείλητε** Act 26,18. 2 K 4,6.
τοῦ ἐκ σκότους ὑμᾶς καλέσαντος εἰς τὸ θαυμασ- E 5,8. Ph 2,15. Ap 1,6.
τὸν αὐτοῦ φῶς· οἵ ποτε **οὐ λαός, νῦν δὲ λαὸς** 10 Hos 1,6.8; 2,8.25.
**θεοῦ**, οἱ **οὐκ ἠλεημένοι, νῦν δὲ ἐλεηθέντες.** R 9,25.

Ἀγαπητοί, παρακαλῶ ὡς **παροίκους καὶ παρε-** 11 Ps 39,13. E 2,19. Jc 4,1.
**πιδήμους** ἀπέχεσθαι τῶν σαρκικῶν ἐπιθυμιῶν, αἵ-
τινες στρατεύονται κατὰ τῆς ψυχῆς· τὴν ἀναστρο- 12 Is 10,3. Mt 5,16.
φὴν ὑμῶν ἐν τοῖς ἔθνεσιν ἔχοντες καλήν, ἵνα ἐν
ᾧ καταλαλοῦσιν ὑμῶν ὡς κακοποιῶν, ἐκ τῶν κα-
λῶν ἔργων ἐποπτεύοντες δοξάσωσιν τὸν θεὸν ἐν
**ἡμέρᾳ ἐπισκοπῆς.**
Ὑποτάγητε πάσῃ ἀνθρωπίνῃ κτίσει διὰ τὸν 13 R 13,1–7. Tt 3,1.
κύριον· εἴτε βασιλεῖ ὡς ὑπερέχοντι, εἴτε ἡγεμόσιν 14
ὡς δι' αὐτοῦ πεμπομένοις εἰς ἐκδίκησιν κακο-
ποιῶν ἔπαινον δὲ ἀγαθοποιῶν· ὅτι οὕτως ἐστὶν 15 3,16.
τὸ θέλημα τοῦ θεοῦ, ἀγαθοποιοῦντας φιμοῦν τὴν
τῶν ἀφρόνων ἀνθρώπων ἀγνωσίαν· ὡς ἐλεύθεροι, 16 G 5,13.
καὶ μὴ ὡς ἐπικάλυμμα ἔχοντες τῆς κακίας τὴν
ἐλευθερίαν, ἀλλ' ὡς θεοῦ δοῦλοι. πάντας τιμή- 17 R 12,10. Prv. 24,21. Mt 22,21.
σατε, τὴν ἀδελφότητα ἀγαπᾶτε, **τὸν θεὸν φοβεῖσθε,**
**τὸν βασιλέα τιμᾶτε.** Οἱ οἰκέται, ὑποτασσόμενοι 18 E 6,5. Tt 2,9.
ἐν παντὶ φόβῳ τοῖς δεσπόταις, οὐ μόνον τοῖς
ἀγαθοῖς καὶ ἐπιεικέσιν ἀλλὰ καὶ τοῖς σκολιοῖς.
τοῦτο γὰρ χάρις εἰ διὰ συνείδησιν θεοῦ ὑποφέρει 19
τις λύπας πάσχων ἀδίκως. ποῖον γὰρ κλέος εἰ 20 3,14.17; 4,13.14. Mt 5,10.
ἁμαρτάνοντες καὶ κολαφιζόμενοι ὑπομενεῖτε; ἀλλ'
εἰ ἀγαθοποιοῦντες καὶ πάσχοντες ὑπομενεῖτε, τοῦτο
χάρις παρὰ θεῷ. εἰς τοῦτο γὰρ ἐκλήθητε, ὅτι 21 Mt 16,24.

---

*10* R οἱ ποτὲ  *15* H φιμοιν

---

*9* ημεις  *11* απεχεσθε  *12* εποπτευσαντες  *13* υποταγητε ουν  *14* εκδιχ. : + μεν  *19* χαρις : + παρα τω θεω | θεου : + αγαθην  *20* υπομενετε bis | τουτο : + γαρ

καὶ Χριστὸς ἔπαθεν ὑπὲρ ὑμῶν, ὑμῖν ὑπολιμ-
πάνων ὑπογραμμὸν ἵνα ἐπακολουθήσητε τοῖς ἴχνε-
Is 53,9. J 8,46. 22 σιν αὐτοῦ· ὃς **ἁμαρτίαν οὐκ ἐποίησεν οὐδὲ εὑρέθη**
2 K 5,21. 23 **δόλος ἐν τῷ στόματι αὐτοῦ**· ὃς λοιδορούμενος
οὐκ ἀντελοιδόρει, πάσχων οὐκ ἠπείλει, παρεδίδου
Is 53,12. 24 δὲ τῷ κρίνοντι δικαίως· ὃς **τὰς ἁμαρτίας** ἡμῶν
1 J 3,5. R 6,11. **αὐτὸς ἀνήνεγκεν** ἐν τῷ σώματι αὐτοῦ ἐπὶ τὸ ξύ-
λον, ἵνα ταῖς ἁμαρτίαις ἀπογενόμενοι τῇ δικαιο-
Is 53,6. Ez 34,5. 25 σύνῃ ζήσωμεν· οὗ **τῷ μώλωπι ἰάθητε.** ἦτε γὰρ
5,4. J 10,12. **ὡς πρόβατα πλανώμενοι,** ἀλλ' ἐπεστράφητε νῦν
ἐπὶ τὸν ποιμένα καὶ ἐπίσκοπον τῶν ψυχῶν ὑμῶν.
E 5,22. 3 Ὁμοίως γυναῖκες, ὑποτασσόμεναι τοῖς ἰδίοις ἀν-
Tt 2,5. δράσιν, ἵνα καὶ εἴ τινες ἀπειθοῦσιν τῷ λόγῳ, διὰ
τῆς τῶν γυναικῶν ἀναστροφῆς ἄνευ λόγου κερ-
2,12. 2 δηθήσονται, ἐποπτεύσαντες τὴν ἐν φόβῳ ἁγνὴν
Is 3,18–24. 3 ἀναστροφὴν ὑμῶν. ὧν ἔστω οὐχ ὁ ἔξωθεν ἐμπλο-
1 T 2,9. κῆς τριχῶν καὶ περιθέσεως χρυσίων ἢ ἐνδύσεως
4 ἱματίων κόσμος, ἀλλ' ὁ κρυπτὸς τῆς καρδίας
ἄνθρωπος ἐν τῷ ἀφθάρτῳ τοῦ πραέως καὶ ἡσυ-
χίου πνεύματος, ὅ ἐστιν ἐνώπιον τοῦ θεοῦ πο-
5 λυτελές. οὕτως γάρ ποτε καὶ αἱ ἅγιαι γυναῖκες
αἱ ἐλπίζουσαι εἰς θεὸν ἐκόσμουν ἑαυτάς, ὑποτασ-
Gn 18,12. 6 σόμεναι τοῖς ἰδίοις ἀνδράσιν, ὡς Σάρρα ὑπήκου-
Prv 3,25. σεν τῷ Ἀβραάμ, **κύριον αὐτὸν καλοῦσα**· ἧς ἐγενή-
θητε τέκνα ἀγαθοποιοῦσαι καὶ μὴ **φοβούμεναι**
E 5,25. 7 **μηδεμίαν πτόησιν.** Οἱ ἄνδρες ὁμοίως, συνοι-
κοῦντες κατὰ γνῶσιν ὡς ἀσθενεστέρῳ σκεύει τῷ
γυναικείῳ, ἀπονέμοντες τιμὴν ὡς καὶ συνκληρο-

---

24 ημων : h υμων | μωλωπι : T+ αυτου 25 HW αλλα 3,1 𝔎— και 4 𝔎 του ησυχιου και πραεως 6 h (ως ... καλουσα, ης εγεν. τεκνα,) | H υπηκουεν 7 H γνωσιν. ως ασθ. σκ. τω γυναικειω απον. τιμην, | hT συνκληρονομοις

---

21 — και | απεθανεν | ημων ημιν 25 πλανωμενα | ημων 3,1 αι γυν. 3 εκ πλοκης | — τριχων | και : η 5 εις : επι τον 7 — οι | συνομιλουντες

*νόμοι χάριτος ζωῆς, εἰς τὸ μὴ ἐγκόπτεσθαι τὰς*
*προσευχὰς ὑμῶν. Τὸ δὲ τέλος πάντες ὁμόφρονες,* 8 R 12,16.
*συμπαθεῖς, φιλάδελφοι, εὔσπλαγχνοι, ταπεινόφρο-*
*νες, μὴ ἀποδιδόντες κακὸν ἀντὶ κακοῦ ἢ λοιδορίαν* 9 Mt 5,44. 1 Th 5,15. 2,23.
*ἀντὶ λοιδορίας, τοὐναντίον δὲ εὐλογοῦντες, ὅτι εἰς*
*τοῦτο ἐκλήθητε ἵνα εὐλογίαν κληρονομήσητε.*

*ὁ γὰρ* ***θέλων ζωὴν ἀγαπᾶν*** 10 Ps 34,13-17. Jc 1,26.
***καὶ ἰδεῖν ἡμέρας ἀγαθὰς***
***παυσάτω τὴν γλῶσσαν ἀπὸ κακοῦ***
***καὶ χείλη τοῦ μὴ λαλῆσαι δόλον,***
***ἐκκλινάτω δὲ ἀπὸ κακοῦ καὶ ποιησάτω ἀγαθόν,*** 11
***ζητησάτω εἰρήνην καὶ διωξάτω αὐτήν·***
*ὅτι* ***ὀφθαλμοὶ κυρίου ἐπὶ δικαίους*** 12
***καὶ ὦτα αὐτοῦ εἰς δέησιν αὐτῶν,***
***πρόσωπον δὲ κυρίου ἐπὶ ποιοῦντας κακά.***

*Καὶ τίς ὁ κακώσων ὑμᾶς ἐὰν τοῦ ἀγαθοῦ* 13
*ζηλωταὶ γένησθε; ἀλλ' εἰ καὶ πάσχοιτε διὰ δικαιο-* 14 Mt 5,10. 2,20. Is 8,12.
*σύνην, μακάριοι.* ***τὸν δὲ φόβον αὐτῶν μὴ φοβηθῆτε***
***μηδὲ ταραχθῆτε, κύριον δὲ*** *τὸν Χριστὸν* ***ἁγιάσατε*** 15 Is 8,13. 1,3.13.
*ἐν ταῖς καρδίαις ὑμῶν, ἕτοιμοι ἀεὶ πρὸς ἀπολο-*
*γίαν παντὶ τῷ αἰτοῦντι ὑμᾶς λόγον περὶ τῆς ἐν*
*ὑμῖν ἐλπίδος, ἀλλὰ μετὰ πραΰτητος καὶ φόβου,* 16 2,12.
*συνείδησιν ἔχοντες ἀγαθήν, ἵνα ἐν ᾧ καταλαλεῖσθε*
*καταισχυνθῶσιν οἱ ἐπηρεάζοντες ὑμῶν τὴν ἀγαθὴν*
*ἐν Χριστῷ ἀναστροφήν. κρεῖττον γὰρ ἀγαθοποι-* 17 14. 2,20.
*οῦντας, εἰ θέλοι τὸ θέλημα τοῦ θεοῦ, πάσχειν*
*ἢ κακοποιοῦντας. ὅτι καὶ Χριστὸς ἅπαξ περὶ* 18 2,21-24. E 2,18. H 9,28; 10,10.
*ἁμαρτιῶν ἀπέθανεν, δίκαιος ὑπὲρ ἀδίκων, ἵνα*

---

7 TW *ενκοπτ.* | h *ταις προσευχαις* 11 T— *δε* 17 fin W, 18 *απεθ.* : hW *επαθεν*

7 *χαριτος* : + *vl* pr *ποικιλης* 8 *φιλοφρονες* 9 *οτι* : pr *ειδοτες* 10 *γλωσσαν el χειλη* : + *αυτου* 13 *ει el γενοισθε* | *μιμηται* 14 *μακ. εστε* | — *μηδε ταρ.* 15 *Χριστ.* : *θεον* | *ετοιμοι δε* | *απαιτουντι* | — *αλλα* 16 *καταλαλωσιν υμων ως κακοποιων* 17 *θελει*

ἡμᾶς προσαγάγῃ τῷ θεῷ, θανατωθεὶς μὲν σαρκὶ
4,6. 19 ζωοποιηθεὶς δὲ πνεύματι· ἐν ᾧ καὶ τοῖς ἐν φυ-
Gn 7,7.17. 20 λακῇ πνεύμασιν πορευθεὶς ἐκήρυξεν, ἀπειθήσασίν
ποτε ὅτε ἀπεξεδέχετο ἡ τοῦ θεοῦ μακροθυμία ἐν
ἡμέραις Νῶε κατασκευαζομένης κιβωτοῦ, εἰς ἣν
ὀλίγοι, τοῦτ' ἔστιν ὀκτὼ ψυχαί, διεσώθησαν δι'
E 5,26. H 10,22. 21 ὕδατος. ὃ καὶ ὑμᾶς ἀντίτυπον νῦν σώζει βάπ-
τισμα, οὐ σαρκὸς ἀπόθεσις ῥύπου ἀλλὰ συνει-
δήσεως ἀγαθῆς ἐπερώτημα εἰς θεόν, δι' ἀναστά-
E 1,20.21. 22 σεως Ἰησοῦ Χριστοῦ, ὅς ἐστιν ἐν δεξιᾷ θεοῦ,
Ps 110,1. Kol 1,16. πορευθεὶς εἰς οὐρανόν, ὑποταγέντων αὐτῷ ἀγγέ-
4 λων καὶ ἐξουσιῶν καὶ δυνάμεων. Χριστοῦ οὖν
παθόντος σαρκὶ καὶ ὑμεῖς τὴν αὐτὴν ἔννοιαν
ὁπλίσασθε, ὅτι ὁ παθὼν σαρκὶ πέπαυται ἁμαρ-
2 τίας, εἰς τὸ μηκέτι ἀνθρώπων ἐπιθυμίαις ἀλλὰ
θελήματι θεοῦ τὸν ἐπίλοιπον ἐν σαρκὶ βιῶσαι
E 2,2.3. Tt 3,3. 3 χρόνον. ἀρκετὸς γὰρ ὁ παρεληλυθὼς χρόνος τὸ
βούλημα τῶν ἐθνῶν κατειργάσθαι, πεπορευμένους
ἐν ἀσελγείαις, ἐπιθυμίαις, οἰνοφλυγίαις, κώμοις,
4 πότοις, καὶ ἀθεμίτοις εἰδωλολατρείαις. ἐν ᾧ ξενί-
ζονται μὴ συντρεχόντων ὑμῶν εἰς τὴν αὐτὴν τῆς
2 T 4,1. 5 ἀσωτίας ἀνάχυσιν, βλασφημοῦντες· οἳ ἀποδώσου-
σιν λόγον τῷ ἑτοίμως ἔχοντι κρῖναι ζῶντας καὶ
3,19. 6 νεκρούς. εἰς τοῦτο γὰρ καὶ νεκροῖς εὐηγγελίσθη,
ἵνα κριθῶσι μὲν κατὰ ἀνθρώπους σαρκί, ζῶσι δὲ
κατὰ θεὸν πνεύματι.
1 K 10,11. 1 J 2,18. 7 Πάντων δὲ τὸ τέλος ἤγγικεν. σωφρονήσατε

---

*18* HW *υμας* *21* *ο* : $h^{s}$ *pro* *ω* *22* *θεω* : $h^{r}$+ . deglutiens mortem ut vitae aeternae haeredes efficeremur, 4,*1* 𝔎 *αμαρτιαις* (W—,) *3* H *ειδωλολατριαις* (W,) *5* *εχ. κριναι* : H *κρινοντι*

---

*18* — *τω θεω* | — *μεν* | *τω πν.* *19* *πνευματι* *20* *απαξ εδεχετο* | *την τ. θ. μακροθυμιαν* | *ολιγαι* *21* *ημας* *22* *του θεου* 4,*1* *παθ.* : + *υπερ ημων* | *εν σαρκι* *3* *γαρ* : + *ημιν* *vl* *υμιν* | *χρον.* : + *του βιου* | *θελημα* | *κατεργασασθαι*

*οὖν καὶ νήψατε εἰς προσευχάς· πρὸ πάντων τὴν* 8 **Prv 10,12. 1,22. Jc 5,20.**
*εἰς ἑαυτοὺς ἀγάπην ἐκτενῆ ἔχοντες, ὅτι* ***ἀγάπη***
***καλύπτει*** *πλῆθος* ***ἁμαρτιῶν·*** *φιλόξενοι εἰς ἀλλή-* 9 **H 13,2.**
*λους ἄνευ γογγυσμοῦ· ἕκαστος καθὼς ἔλαβεν χά-* 10 **L 12,42.**
*ρισμα, εἰς ἑαυτοὺς αὐτὸ διακονοῦντες ὡς καλοὶ*
*οἰκονόμοι ποικίλης χάριτος θεοῦ· εἴ τις λαλεῖ,* 11 **R 12,7. 1 K 10,31.**
*ὡς λόγια θεοῦ· εἴ τις διακονεῖ, ὡς ἐξ ἰσχύος ἧς*
*χορηγεῖ ὁ θεός· ἵνα ἐν πᾶσιν δοξάζηται ὁ θεὸς*
*διὰ Ἰησοῦ Χριστοῦ, ᾧ ἐστιν ἡ δόξα καὶ τὸ κρά-*
*τος εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.*

*Ἀγαπητοί, μὴ ξενίζεσθε τῇ ἐν ὑμῖν πυρώσει* 12 **1,6.7.**
*πρὸς πειρασμὸν ὑμῖν γινομένῃ, ὡς ξένου ὑμῖν*
*συμβαίνοντος, ἀλλὰ καθὸ κοινωνεῖτε τοῖς τοῦ* 13 **Act 5,41. Jc 1,2. R 8,17. 2 T 2,12.**
*Χριστοῦ παθήμασιν χαίρετε, ἵνα καὶ ἐν τῇ ἀπο-*
*καλύψει τῆς δόξης αὐτοῦ χαρῆτε ἀγαλλιώμενοι.*
*εἰ* ***ὀνειδίζεσθε*** *ἐν ὀνόματι* **Χριστοῦ,** *μακάριοι, ὅτι* 14 **2,20. Act 5,41. Ps 89,51.52. Is 11,2.**
*τὸ τῆς δόξης καὶ* ***τὸ τοῦ θεοῦ πνεῦμα*** *ἐφ' ὑμᾶς*
***ἀναπαύεται.*** *μὴ γάρ τις ὑμῶν πασχέτω ὡς φονεὺς* 15
*ἢ κλέπτης ἢ κακοποιὸς ἢ ὡς ἀλλοτριεπίσκοπος·*
*εἰ δὲ ὡς Χριστιανός, μὴ αἰσχυνέσθω, δοξαζέτω* 16 **Act 11,26. Ph 1,20.**
*δὲ τὸν θεὸν ἐν τῷ ὀνόματι τούτῳ. ὅτι [ὁ] καιρὸς* 17 **Ez 9,6. Jr 25,29. 2 Th 1,8.**
*τοῦ* ***ἄρξασθαι*** *τὸ κρίμα* ***ἀπὸ τοῦ οἴκου*** *τοῦ θεοῦ·*
*εἰ δὲ πρῶτον ἀφ' ἡμῶν, τί τὸ τέλος τῶν ἀπει-*
*θούντων τῷ τοῦ θεοῦ εὐαγγελίῳ; καὶ εἰ* ***ὁ δίκαιος*** 18 **Prv 11,31. L 23,31.**
***μόλις σώζεται, ὁ ἀσεβὴς καὶ ἁμαρτωλὸς ποῦ φα-***
***νεῖται;*** *ὥστε καὶ οἱ πάσχοντες κατὰ τὸ θέλημα* 19 **Ps 31,6.**
*τοῦ θεοῦ πιστῷ κτίστῃ παρατιθέσθωσαν τὰς ψυ-*
*χὰς αὐτῶν ἐν ἀγαθοποιΐᾳ.*

---

*14 δοξης* : h$^r$ + *και δυναμεως* | fin : h$^r$ + *κατα μεν αυτους βλασφημειται, κατα δε υμας δοξαζεται* *15* W *αλλοτριοεπισκοπος* *17* [o] RW—T | *αφ* : W *απο* *18* (T)R *καὶ Εἰ* | *ο 2⁰* : [H] W+ *δε* | *αμαρτ.* : hT pr *ο* *19* **K**— *αυτων*

---

*7* — *και* | *εις* : + *τας* *8 προ π. δε* | *καλυψει* *9 γογγυσμων* *11 ης* : *ως* *14 επαναπεπαυται* *16 ονοματι* : *μερει* *17 ημων* *19 εν αγαθοποιΐαις*

2 J 1. R 8,17. 5 Πρεσβυτέρους οὖν ἐν ὑμῖν παρακαλῶ ὁ συν-
Ap 1,9. πρεσβύτερος καὶ μάρτυς τῶν τοῦ Χριστοῦ παθη-
J 21,16. μάτων, ὁ καὶ τῆς μελλούσης ἀποκαλύπτεσθαι
Phm 14. Act 20,28. 2 δόξης κοινωνός· ποιμάνατε τὸ ἐν ὑμῖν ποίμνιον
1 T 3,2–7. τοῦ θεοῦ, μὴ ἀναγκαστῶς ἀλλὰ ἑκουσίως [κατὰ
2 K 1,24. Tt 2,7; 1,11. 3 θεόν] μηδὲ αἰσχροκερδῶς ἀλλὰ προθύμως, μηδ'
ὡς κατακυριεύοντες τῶν κλήρων ἀλλὰ τύποι γινό-
2,25. H 13,20. 1 K 9,25. 4 μενοι τοῦ ποιμνίου· καὶ φανερωθέντος τοῦ ἀρ-
2 T 4,8. χιποίμενος κομιεῖσθε τὸν ἀμαράντινον τῆς δόξης
E 5,21. Prv 3,34. 5 στέφανον. Ὁμοίως, νεώτεροι, ὑποτάγητε πρεσ-
Mt 23,12. Jc 4,6. βυτέροις· πάντες δὲ ἀλλήλοις τὴν ταπεινοφρο-
σύνην ἐγκομβώσασθε, ὅτι **ὁ θεὸς ὑπερηφάνοις**
**ἀντιτάσσεται, ταπεινοῖς δὲ δίδωσιν χάριν.**
Job 22,29. Jc 4,10. 6 Ταπεινώθητε οὖν ὑπὸ τὴν κραταιὰν χεῖρα τοῦ
Ps 55,23. Mt 6,25. Ph 4,6. 7 θεοῦ, ἵνα ὑμᾶς ὑψώσῃ ἐν καιρῷ, [1]πᾶσαν **τὴν μέ-**
**ριμναν ὑμῶν ἐπιρίψαντες** ἐπ' αὐτόν, ὅτι αὐτῷ
1 Th 5,6. L 18,3. 8 μέλει περὶ ὑμῶν. Νήψατε, γρηγορήσατε. ὁ ἀντί-
δικος ὑμῶν διάβολος ὡς λέων ὠρυόμενος περι-
E 6,11–13. 9 πατεῖ ζητῶν τίνα καταπιεῖν· ᾧ ἀντίστητε στερεοὶ
τῇ πίστει, εἰδότες τὰ αὐτὰ τῶν παθημάτων τῇ
1,6. 10 ἐν τῷ κόσμῳ ὑμῶν ἀδελφότητι ἐπιτελεῖσθαι. Ὁ
δὲ θεὸς πάσης χάριτος, ὁ καλέσας ὑμᾶς εἰς τὴν
αἰώνιον αὐτοῦ δόξαν ἐν Χριστῷ, ὀλίγον παθόντας
11 αὐτὸς καταρτίσει, στηρίξει, σθενώσει. αὐτῷ τὸ
κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.
H 13,22. 12 Διὰ Σιλουανοῦ ὑμῖν τοῦ πιστοῦ ἀδελφοῦ, ὡς
λογίζομαι, δι' ὀλίγων ἔγραψα, παρακαλῶν καὶ

---

*1 ουν* : T+ *τους* | R *συμπρεσβ.* *2 θεου* : h[r] [R] + *επισκοπουντες* | [*κατα θεον*] : h[s]T—H *5* H [*o*] *6* T *χειραν* *8* H— *τινα* hW *τινὰ* *10 Χριστω* : h pr *τω* | *σθενωσει* : TW+ *θεμελιωσει* *11* H— *των αιωνων*

---

*1 — ουν* | *ο* : *ως* *2 μηδε* : *μη* *5 ομ. δε* | *αλληλ.* : + *υποτασσομενοι* *6* fin + *επισκοπης* *7 περι ημων* *8 ο* : pr *οτι* | *καταπιῃ* *9 — τω* | *— υμων* *10 ημας* | *Χριστω Ιησου* | *καταρτισαι στηριξαι σθενωσαι θεμελιωσαι* *11 η δοξα και το κρατος*

ἐπιμαρτυρῶν ταύτην εἶναι ἀληθῆ χάριν τοῦ θεοῦ·
εἰς ἣν στῆτε. Ἀσπάζεται ὑμᾶς ἡ ἐν Βαβυλῶνι 13 Act 12,12.25. 2 T 4,11.
συνεκλεκτὴ καὶ Μάρκος ὁ υἱός μου. ἀσπάσασθε 14 1 K 16,20.
ἀλλήλους ἐν φιλήματι ἀγάπης.
Εἰρήνη ὑμῖν πᾶσιν τοῖς ἐν Χριστῷ.

---

*12* TW *θεου,* | W *εστηκατε*
1,*1* ℌ *Σιμων* *2* TW *ημων.* (W nova sectio) *3* *παντα* : TW pr *τα* | ℌ *ημας δια δοξης και αρετης* *4* ℌW *τ. και μεγιστα ημιν* | fin W,

---

*13* *Βαβ.* : + *εκκλησια* *14* *Χριστω Ιησου* | fin + *αμην*